ἐλάχιστος, η, ον, superl. zu ἐλάσσων, der kleinste, geringste, unbedeutendste, plur., die wenigsten I. 143, 8 πολλῷ δὴ ἦν ἀσθενέστατον τῶν ἐθνέων τὸ Ἰωνικὸν καὶ λόγου ἐλαχίστου. 146, 5 τῶν Ἄβαντες μὲν ἐξ Εὐβοίης εἰσὶ οὐκ ἐλαχίστη μοῖρα. 196, 20 καὶ ταύτην ἀνεκήρυσσε, ὅστις ἐθέλοι ἐλάχιστον χρυσίον λαβὼν συνοικέειν αὐτῇ. 21 ἐς ὃ τῷ τὸ ἐλάχιστον ὑπισταμένῳ προσέκειτο. 204, 5 τοῦ — πεδίου τούτου — οὐκ ἐλαχίστην μοῖραν μετέχουσι οἱ Μασσαγέται. II. 13, 3 ὅκως ἔλθοι ὁ ποταμὸς ἐπὶ ὀκτὼ πήχεας τὸ ἐλάχιστον (wenigstens, = 7). 17, 20 οὔτε ἐλαχίστην μοῖραν τοῦ ὕδατος παρεχόμενος ταύτην. 24, 6 ὡς μέν νυν ἐν ἐλαχίστῳ δηλῶσαι, πᾶν εἴρηται. 68, 8 πάντων δὲ — τοῦτο ἐξ ἐλαχίστου μέγιστον γίνεται. 145, 9 Πανὶ δὲ ἔτι τούτων πλέονα λέγεται εἶναι, Διονύσῳ δ' ἐλάχιστα τούτων. 158, 16 τῇ δὲ ἐλάχιστον ἐστὶ καὶ συντομώτατον — ὑπερβῆναι. 180, 7 οὐκ ἐλάχιστον ἐξ Αἰγύπτου ἠνείκαντο. III. 12, 13 Αἰγυπτίων γὰρ ἄν τις ἐλαχίστους ἴδοιτο φαλακροὺς πάντων ἀνθρώπων. IV. 135, 3 τοὺς μὲν καματηροὺς τῶν ἀνδρῶν καὶ τῶν ἦν ἐλάχιστος ἀπολλυμένων λόγος. VII. 101, 7 σὺ εἷς Ἕλλην τε, καὶ — πόλιος οὔτ' ἐλαχίστης οὔτ' ἀσθενεστάτης. 157, 13 καὶ μοῖρά τοι τῆς Ἑλλάδος οὐκ ἐλαχίστη μέτα. 164, 11 τόδε οὐκ ἐλάχιστον τούτων ἐλίπετο. 168, 20 ἔχοντες δύναμιν οὐκ ἐλαχίστην οὐδὲ νέας ἐλαχίστας παρασχόντες. 190, 1 ἐν τούτῳ τῷ πόνῳ νέας οἱ ἐλαχίστας λέγουσι διαφθαρῆναι —. 221, 2 μαρτύριον δέ μοι καὶ τόδε οὐκ ἐλάχιστον τούτου πέρι γέγονε. VIII. 68, α, 3 οὔτε κακίστη γενομένη ἐν τῇσι ναυμαχίῃσι — οὔτε ἐλάχιστα ἀποδεξαμένη.

ἔλεγχος, ου, ὁ, 1) Untersuchung I. 209, 24 ποίεε ὅκως — ὡς μοι καταστήσεις τὸν παῖδα ἐς ἔλεγχον. — 2) Beweis, Widerlegung II. 23, 3 ὁ δὲ περὶ τοῦ Ὠκεανοῦ λέξας ἐς ἀφανὲς τὸν μῦθον ἀνενείκας οὐκ ἔχει ἔλεγχον. („ist nicht zu widerlegen", Stein).

ἐλέγχω, 1) beweise, überführe II. 22, 21 εἰ τοίνυν ἐχιόνιζε — ἦν ἄν τι τούτων οὐδέν, ὡς ἡ ἀνάγκη ἐλέγχει. 115, 11 πλανωμένου δὲ τοῦ Ἀλεξάνδρου ἐν τῷ λόγῳ καὶ οὐ λέγοντος τὴν ἀληθείην, ἤλεγχον οἱ γενόμενοι ἱκέται. Pass.: I. 24, 34 καὶ τοὺς ἐκπλαγέντας οὐκ ἔχειν ἔτι ἐλεγχομένους ἀρνέεσθαι. 117, 8 Ἅρπαγος — οὐ τρέπεται ἐπὶ ψευδέα ὁδόν, ἵνα μὴ ἐλεγχόμενος ἁλίσκηται. — 2) werfe vor, schmähe IV. 68, 10 αὐτίκα δὲ διαλελαμμένος ἄγεται οὗτος τὸν ἂν δὴ φῶσι ἐπιορκῆσαι, ἀπιγμένον δὲ ἐλέγχουσι οἱ μάντιες ὡς ἐπιορκήσας φαίνεται ἐν τῇ μαντικῇ τὰς βασ. ἱστίας.

ἐλευθέριος, ον, befreiend, rettend, Beiname des Zeus III. 142, 5 πρῶτα μὲν Διὸς ἐλευθερίου βωμὸν ἱδρύσατο. 20 ἱρωσύνην δὲ πρὸς τούτοισι αἱρεῦμαι αὐτῷ τέ μοι — τοῦ Διὸς τοῦ ἐλευθερίου.

ἐλευθερόω, befreie, mache frei I. 96, 5 ἀπωσάμενοι (οἱ Μῆδοι) τὴν δουλοσύνην ἐλευθερώθησαν. 127, 2 Πέρσαι μέν νυν προστάτεω ἐπιλαβόμενοι ἄσμενοι ἐλευθεροῦντο. II. 135, 5 οὕτω δὴ ἡ Ῥοδῶπις ἐλευθερώθη. 147, 6 ἐλευθερωθέντες Αἰγύπτιοι μετὰ τὸν ἱρέα τοῦ Ἡφαίστου βασιλεύσαντα ἐστήσαντο δυώδεκα

βασιλέας. III. 82, 28 ἔχω τοίνυν γνώμην ἡμέας ἐλευθερωθέντας διὰ ἕνα ἄνδρα τὸ τοιοῦτο περιστέλλειν. IV. 137, 4 Μιλτιάδεω — ἦν γνώμη πείθεσθαι Σκύθῃσι καὶ ἐλευθεροῦν Ἰωνίην. V. 62, 4 δεῖ — ἀναλαβεῖν τὸν κατ' ἀρχὰς ἦια λέξων λόγον, ὡς τυράννων ἐλευθερώθησαν Ἀθηναῖοι. 11 προσέπταιον μεγάλως πειρώμενοι κατιέναι τε καὶ ἐλευθεροῦν τὰς Ἀθήνας. 63, 4 προφέρειν σφι τὰς Ἀθήνας ἐλευθεροῦν. 65, 22 ὅσα δὲ ἐλευθερωθέντες ἔρξαν ἢ ἔπαθον ἀξιόχρεα ἀπηγήσιος — ταῦτα πρῶτα φράσω. 78, 7 δηλοῖ ὧν ταῦτα ὅτι κατεχόμενοι μὲν ἐθελοκάκεον — ἐλευθερωθέντων δὲ αὐτὸς ἕκαστος ἑωυτῷ προεθυμέετο κατεργάζεσθαι. 91, 17 ὃς ἐπείτε δι' ἡμέας ἐλευθερωθεὶς ἀνέκυψε, ἡμέας μὲν — ἐξέβαλε. VI. 59, 3 ἐπεὰν — ἄλλος ἐνίστηται βασιλεύς, οὗτος ὁ ἐσιὼν ἐλευθεροῖ ὅστις τι Σπαρτιητέων τῷ βασιλέϊ ἢ τῷ δημοσίῳ ὤφειλε. 122, 3 ὡς ἀνὴρ ἄκρος ἐλευθερῶν τὴν πατρίδα. 123, 7 καὶ οὕτω τὰς Ἀθήνας οὗτοι ἦσαν οἱ ἐλευθερώσαντες. 11 Ἀλκμεωνίδαι δὲ ἐμφανέως ἠλευθέρωσαν. 13 εἰ δὴ οὗτοί γε ἀληθέως ἦσαν οἱ τὴν Πυθίην ἀναπείσαντες προσημαίνειν Λακεδαιμονίοισι ἐλευθεροῦν τὰς Ἀθήνας. VII. 157, 14 σύ δὲ — βοήθεέ τε τοῖσι ἐλευθεροῦσι τὴν Ἑλλάδα καὶ συνελευθέρου. VIII. 132, 5 οἳ — ἐδέοντο Λακεδαιμονίων ἐλευθεροῦν τὴν Ἰωνίην. 142, 14 οἵτινες αἰεὶ καὶ τὸ πάλαι φαίνεσθε πολλοὺς ἐλευθερώσαντες ἀνθρώπων.

ἐλευθέρωσις, ιος, ἡ, Befreiung IX. 45, 18 ἦν δὲ ὑμῖν ὁ πόλεμος ὅδε κατὰ νόον τελευτήσῃ, μνησθῆναι τινὰ χρὴ καὶ ἐμεῦ ἐλευθερώσιος πέρι.

ἕλιγμός, οῦ, ὁ, Windung, Krümmung II. 148, 27 αἵ τε γὰρ ἔξοδοι διὰ τῶν στεγέων καὶ οἱ ἕλιγμοὶ διὰ τῶν αὐλέων ἐόντες ποικιλώτατοι θῶμα μύριον παρείχοντο.

ἕλκος, εος, τό, Wunde III. 113, 6 τὰς (sc. οὐρὰς) εἴ τις ἐπείη σφι ἐπέλκειν, ἕλκεα ἂν ἔχοιεν (οἷες) ἀνατριβομενέων πρὸς τῇ γῇ τῶν οὐρέων. VII. 181, 9 σμύρνῃσί τε ἰώμενοι τὰ ἕλκεα καὶ σινδόνος βυσσίνης τελαμῶσι κατειλίσσοντες.

ἐλλόγιμος, ον, ansehnlich, berühmt II. 176, 2 ἀνέθηκε δὲ καὶ ἐν τοῖσι ἄλλοισι ἱροῖσι ὁ Ἄμασις πᾶσι τοῖσι ἐλλογίμοισι ἔργα τὸ μέγαθος ἀξιοθέητα.

ἐμέω, speie I. 133, 12 καί σφι οὐκ ἐμέσαι ἔξεστι, οὐκὶ οὐρῆσαι ἀντίον ἄλλου. VII. 88, 8 πεσὼν δὲ αἷμά τε ἤμεε καὶ ἐς φθίσιν περιῆλθε ἡ νοῦσος. (vergl. ἔμετος II. 77, 5).

ἐμμανής, ές, toll, rasend III. 25, 6 οἷα δὲ ἐμμανής τε ἐὼν καὶ οὐ φρενήρης (Καμβύσης) — ἐστρατεύετο.

ἐμπαίζω, verspotte, habe zum besten, τινί, IV. 134, 15 ἐλθὼν δὲ μᾶλλον ἐξέμαθον, ὁρέων αὐτοὺς ἐμπαίζοντας ἡμῖν.

ἐμπηδάω, trete, springe auf, τινί, III. 32, 20 τὸν δὲ θυμωθέντα ἐμπηδῆσαι αὐτῇ ἐχούσῃ ἐν γαστρί.

ἐμπολαῖος, η, ον, Handels-, handeltreibend IX. 106, 15 τοῖσι ἐν τέλεϊ ἐοῦσι ἐδόκεε τῶν μηδισάντων ἐθνέων τῶν Ἑλληνικῶν τὰ ἐμπολαῖα ἐξαναστήσαντας δοῦναι τὴν χώρην Ἴωσι ἐνοικῆσαι.

ἐμπόριον, ου, τό, Handels-, Stapelplatz I. 165, 3 ἐπείτε σφι Χῖοι τὰς νήσους τὰς Οἰνούσσας καλεομένας οὐκ ἐβούλοντο ὠνευμένοισι πωλέειν, δειμαίνοντες μὴ αἱ μὲν ἐμπόριον γένωνται. II. 178, 12 καὶ προστάτας τοῦ ἐμπορίου αὗται αἱ πόλιες εἰσὶ αἱ παρέχουσαι. 179, 2 ἦν δὲ τὸ παλαιὸν μούνη Ναύκρατις ἐμπόριον καὶ ἄλλο οὐδὲν Αἰγύπτου. III. 5, 6 ἀπὸ ταύτης τὰ ἐμπόρια τὰ ἐπὶ θαλάσσης μέχρι Ἰηνύσου πόλιος ἐστὶ τοῦ Ἀραβίου. IV. 17, 1 ἀπὸ τοῦ

Βορυσθενειτέων ἐμπορίου —. 20, 7 *ἐπὶ τῆς λίμνης τῆς Μαιήτιδος τὸ ἐμπόριον τὸ καλέεται Κρημνοί.* 24, 5 *καὶ Ἑλλήνων τῶν ἐκ Βορυσθένεός τε ἐμπορίου καὶ τῶν ἄλλων Ποντικῶν ἐμπορίων.* 108, 10 *ἐκ τῶν δὲ ἐμπορίων ἐξαναστάντες οἴκησαν ἐν τοῖσι Βουδίνοισι.* 152, 11 *τὸ δὲ ἐμπόριον τοῦτο ἦν ἀκήρατον τοῦτον τὸν χρόνον.* VII. 158, 8 *ὑποτεινοντός τε (ἐμεῦ) τὰ ἐμπόρια συνελευθεροῦν.*

ἔμπορος, ου, ὁ, Kaufmann II. 39, 9 *τοῖσι μὲν ἂν ᾖ ἀγορὴ καὶ Ἕλληνές σφι ἐωσι ἐπιδήμιοι ἔμποροι* —. IV. 154, 12 *ἦν γὰρ δὴ Θεμίσων ἀνὴρ Θηραῖος ἔμπορος ἐν τῇ Ὀαξῳ.*

ἐμπρέπω, steche hervor, thue mich hervor VII. 67, 5 *Σαράγγαι δὲ εἵματα μὲν βεβαμμένα ἐνέπρεπον ἔχοντες.* 83, 11 *(Πέρσαι) χωρὶς δὲ χρυσὸν ἄφθονον ἔχοντες ἐνέπρεπον.*

ἐμπρόσθιος, ον, der andere II. 69, 8 *ἀρτήματά τε λίθινα χυτὰ καὶ χρύσεα ἐς τὰ ὦτα ἐνθέντες καὶ ἀμφιδέας περὶ τοὺς ἐμπροσθίους πόδας.* IV. 60, 3 *τὸ μὲν ἰρήιον αὐτὸ ἐμπεποδισμένον τοὺς ἐμπροσθίους πόδας ἕστηκε.*

ἐμπτύω, speie aus I. 138, 12 *ἐς ποταμὸν δὲ οὔτε ἐνουρέουσι οὔτε ἐμπτύουσι.*

ἐναποθνήσκω, sterbe in IX. 65, 7 *θῶμα δέ μοι ὅκως παρὰ τῆς Δήμητρος τὸ ἄλσος μαχομένων οὐδὲ εἷς ἐφάνη τῶν Περσέων οὔτε ἐσελθὼν ἐς τὸ τέμενος οὔτε ἐναποθανών.* Fehlt bei Schubert a. a. O. S. 207, 23. vergl. S. 216.

ἕνδεκα, elf, 1) allein I. 18, 2 *ἐπολέμεε ἔτεα ἕνδεκα.* 5 *τὰ μέν νυν ἓξ ἔτεα τῶν ἕνδεκα.* 149, 4 *αὗται ἕνδεκα Αἰολέων πόλιες αἱ ἀρχαῖαι.* 150, 9 *αἱ ἕνδεκα πόλιες.* II. 5, 10 *ἐν ἕνδεκα ὀργυιῇσι ἕσεαι.* 151, 5 *ὁ ἀρχιερεὺς ἐξήνεικέ σφι φιάλας χρυσέας — ἕνδεκα δυώδεκα ἐοῦσι.* 152, 7 *πρὸς τῶν ἕνδεκα βασιλέων καταλαμβάνει μιν — φεύγειν.* IV. 18, 11 *πλόον ἀνὰ τὸν Βορυσθένεα ἡμερέων ἕνδεκα.* V. 52, 31 *ἐκ δὲ ταύτης ἐς τὴν Κισσίην χώρην μεταβαίνοντι ἕνδεκα σταθμοί.* VI. 14, 8 *πλὴν ἕνδεκα νεῶν (λέγονται — ἀποπλῶσαι).* VII. 183, 12 *ἕνδεκα ἡμέρας παρέντες.* 187, 11 *ἕνδεκα μυριάδας μεδίμνων τελεομένας.* 195, 4 *ἀποβαλὼν δὲ σφέων τὰς ἕνδεκα (sc. νέας).* IX. 30, 5 *σύν τε ὁπλίτῃσι καὶ ψιλοῖσι τοῖσι μαχίμοισι ἕνδεκα μυριάδες ἦσαν.* — 2) mit andren Zahlen verbunden IV. 86, 6 *αὗται ἕνδεκα μυριάδες καὶ ἑκατὸν ὀργυιέων γίνονται.* V. 52, 35 *οὗτοι οἱ πάντες σταθμοὶ εἰσὶ ἕνδεκα καὶ ἑκατόν.*

ἑνδέκατος, η, ον, der elfte I. 62, 2 *διὰ ἑνδεκάτου ἔτεος.* II. 111, 10 *ἑνδεκάτῳ ἔτεϊ.* III. 92, 6 *νομὸς ἑνδέκατος οὗτος.* VI. 109, 5 *ἦν γὰρ ἑνδέκατος ψηφιδοφόρος ὁ τῷ κυάμῳ λαχὼν Ἀθηναίων πολεμαρχέειν.* IX. 41, 2 *ὡς δὲ ἑνδεκάτη ἐγεγόνεε ἡμέρη.* 86, 7 *ἑνδεκάτῃ ἡμέρῃ.*

ἐνδέμω, baue ein, verbaue III. 117, 12 *τὰς διασφάγας τῶν ὀρέων ἐνδείμας ὁ βασιλεὺς πύλας ἐπ' ἑκάστῃ διασφάγι ἔστησε.*

ἐνδιαιτάομαι, wohne, lebe in. VIII. 41, 9 *λέγουσι Ἀθηναῖοι ὄφιν μέγαν φύλακα τῆς ἀκροπόλιος ἐνδιαιτᾶσθαι ἐν τῷ ἱρῷ.*

ἔνδοθεν, adv., innen, drinnen II. 68, 19 *ἅτε δὴ ὢν ἐν ὕδατι δίαιταν ποιεύμενον, τὸ στόμα ἔνδοθεν φορέει πᾶν μεστὸν βδελλέων.*

ἐνθάδε, adv., 1) hier I. 124, 20 *ὡς ὢν ἑτοίμου τοῦ γε ἐνθάδε ἐόντος, ποίεε ταῦτα.* VII. 234, 11 *οὗτοι πάντες εἰσὶ ὅμοιοι τοῖσι ἐνθάδε μαχεσαμένοισι.* — 2) hierher III. 145, 16 *καί σφεας ἐγὼ τιμωρήσομαι τῆς ἐνθάδε ἀπίξιος.* IV. 9, 14 *ἵππους μὲν δὴ ταύτας ἀπικομένας ἐνθάδε ἔσωσά τοι ἐγώ.*

ἐνθένδε, adv., von hier VII. 234, 3 *Ξέρξης δὲ καλέσας Δημάρητον εἰρώτα ἀρξάμενος ἐνθένδε.*

ἐνιαυτός, οῦ, ὁ, Jahr I. 32, 11 *οὗτοι ἐόντες ἐνιαυτοὶ ἑβδομήκοντα παρέχονται ἡμέρας* 25 200. (vergl. Steins Anm.). 67, 25 *τοὺς δεῖ τοῦτον τὸν ἐνιαυτόν, τὸν ἂν ἐξίωσι ἐκ τῶν ἱππέων, — διαπεμπομένους μὴ ἐλινύειν ἄλλους ἄλλη.* 74, 11 *οὖρον προθέμενος ἐνιαυτὸν τοῦτον ἐν τῷ δὴ καὶ ἐγένετο ἡ μεταβολή.* 192, 6 *δυώδεκα ὧν μηνῶν ἐόντων ἐς τὸν ἐνιαυτὸν τοὺς τέσσερας μῆνας τρέφει μιν ἡ Βαβυλ. χώρη.* II. 4, 3 *πρώτους Αἰγυπτίους ἀνθρώπων ἁπάντων ἐξευρεῖν τὸν ἐνιαυτόν* (d. h. „das Kalenderjahr, insbesondere das in der Drehung des Tierkreises und dem Kreislauf der Jahreszeiten erkannte Sonnenjahr". Stein zu I. 32, 11). 42, 22 *μιῇ δὲ ἡμέρῃ τοῦ ἐνιαυτοῦ.* 59, 1 *οὐκ ἅπαξ τοῦ ἐνιαυτοῦ.* 60, 16 *ἐν τῷ ἅπαντι ἐνιαυτῷ τῷ ἐπιλοίπῳ.* 109, 6 *ἐπιτάξαντα ἀποφορὴν ἐπιτελέειν κατ' ἐνιαυτόν.* 132, 11 *ἐν τῷ ἐνιαυτῷ ἅπαξ.* 168, 8 *Καλασιρίων χίλιοι καὶ Ἑρμοτυβ. ἐδορυφόρεον ἐνιαυτὸν ἕκαστοι τὸν βασιλέα.* III. 24, 11 *ἐνιαυτὸν μὲν δὴ ἔχουσι τὴν στήλην ἐν τοῖσι οἰκίοισι.* 57, 9 *τὰ γινόμενα τῷ ἐνιαυτῷ ἑκάστῳ χρήματα διενέμοντο.* 152, 2 *ἑπτὰ μηνῶν καὶ ἐνιαυτοῦ διεληλυθότος.* IV. 66, 2 *ἅπαξ τοῦ ἐνιαυτοῦ ἑκάστου.* 72, 1 *ἐνιαυτοῦ δὲ περιφερομένου αὖτις ποιεῦσι τοιόνδε.* 152, 6 *σιτία οἱ ἐνιαυτοῦ καταλείπουσι.* V. 116, 1 *Κύπριοι μὲν δὴ ἐνιαυτὸν ἐλεύθεροι γενόμενοι αὖτις ἐκ νέης κατεδεδούλωντο.* VI. 126, 12 *ὡς κυρώσοντος Κλεισθένεος τὸν γάμον ἐν ἐνιαυτῷ.* 128, 4 *μετὰ δὲ κατέχων ἐνιαυτὸν διεπειρᾶτο αὐτῶν τῆς τε ἀνδραγαθίης κτλ.* VII. 162, 6 *ὅτι ἐκ τοῦ ἐνιαυτοῦ τὸ ἔαρ αὐτῇ ἐξαραίρηται.* 8 *δῆλα γὰρ ὡς ἐν τῷ ἐνιαυτῷ ἐστὶ τὸ ἔαρ δοκιμώτατον.* 11 *εἴκαζε ὡς εἰ τὸ ἔαρ ἐκ τοῦ ἐνιαυτοῦ ἐξαραιρημένον εἴη.* IX. 93, 7 *οὗτοι φυλάσσουσι ἐνιαυτὸν ἕκαστος.* 110, 8 *ἅπαξ τοῦ ἐνιαυτοῦ.* Vergl. *ἐνιαύσιος* IV. 180, 5.

ἐνιππεύω, reite darin, darauf VI. 102, 5 *καὶ ἦν γὰρ ὁ Μαραθὼν ἐπιτηδεότατον χωρίον τῆς Ἀττικῆς ἐνιππεῦσαι.*

ἐννέα, neun II. 9, 2 *ἀπὸ Ἡλίου πόλιος ἐς Θήβας ἐστὶ ἀνάπλοος ἐννέα ἡμερέων.* 41, 19 *περίμετρον δὲ αὐτῆς εἰσὶ σχοῖνοι ἐννέα.* IV. 86, 5 *ἡμερέων ἐννέα πλόος.* 200, 7 *ἐπολιόρκεον τὴν Βάρκην ἐπὶ μῆνας ἐννέα.* V. 51, 7 *τέκνον — ἐὸν ἐτέων ὀκτὼ ἢ ἐννέα ἡλικίην.* IX. 30, 2 *ψιλῶν — τῶν ἁπάντων μαχίμων ἦν τὸ πλῆθος ἓξ τε μυριάδες καὶ ἐννέα χιλιάδες καὶ ἑκατοντάδες πέντε.*

ἐνσκευάζω, Med.: waffne, rüste mich IX. 22, 10 *ἐνεσκεύαστο γὰρ οὕτω* (*Μασίστιος*).

ἐντίθημι setze, lege, stelle, bringe hinein II. 69, 7 *ἀρτήματά τε λίθινα χυτὰ καὶ χρύσεα ἐς τὰ ὦτα ἐνθέντες.* 73, 15 *οὕτω δὴ κοιλήναντα* (*φοίνικα*) *τὸ ᾠὸν τὸν πατέρα ἐς αὐτὸ ἐντιθέναι.* 17 *σμύρνῃ δὲ ἄλλῃ ἐμπλάσσειν τοῦτο κατότι τοῦ ᾠοῦ ἐγκοιλήνας ἐνέθηκε τὸν πατέρα.*

ἐντίκτω, erzeuge darin II. 93, 29 *οἱ ἰχθύες ἐντεκόντες ᾠὰ ἐς τὴν ἰλὺν ἅμα τῷ ἐσχάτῳ ὕδατι ἀπαλλάσσονται.*

ἐνωμοτίη, ης, ἡ, „Eidgenossenschaft (von *ἐνώμοτος*, *iuratus*, nach Hesych. *τάξις τις διὰ σφαγίων ἐνώμοτος*), der einfachste Körper der spartanischen Heeresordnung, bestand ursprünglich aus 25 Mann; zwei Enomotien bildeten eine Pentekostys". Stein zu I. 65, 25 *μετὰ δὲ τὰ ἐς πόλεμον ἔχοντα, ἐνωμοτίας καὶ τριηκάδας καὶ συσσίτια, πρός τε τούτοισι τοὺς ἐφόρους καὶ γέροντας ἔστησε Λυκοῦργος.* Zur Sache vergl. Schoemann, griech. Altert. I. 281.

ἕξ, sechs, 1) allein I. 14, 7 *κρητῆρές οἱ ἀριθμὸν ἓξ χρύσεοι ἀνακέαται.* 18, 4 *τὰ μέν νυν ἓξ ἔτεα.* 8 *τὰ δὲ πέντε τῶν ἐτέων τὰ ἑπόμενα τοῖσι ἓξ.* 93, 16 *στάδιοι ἓξ.* II. 107, 11 *τῶν παίδων ἐόντων ἓξ.* 133, 3 *ἓξ ἔτεα.* 22 *ἀντὶ ἓξ ἐτέων.* 148, 13 *ἓξ μὲν πρὸς βορέω ἓξ δὲ πρὸς νότον τετραμμέναι (αὐλαί).* 149, 20 *ἓξ μῆνας* (= 21. 22). 161, 1 *ἓξ ἔτεα.* III. 14, 4 *μῆνας ἓξ.* 70, 9 *γεγονότων δὲ τούτων ἓξ.* 11 *τοῖσι ἓξ τῶν Περσέων ἔδοξε.* 83, 12 *οἱ ἓξ* (= 86, 2. 119, 4). 142, 17 *ἐξαίρετα ἓξ τάλαντα.* IV. 81, 15 *πάχος — δακτύλων ἓξ.* 148, 13 *σφέας αὐτοὺς ἓξ μοίρας διεῖλον.* 152, 16 *ἐξελόντες ἓξ τάλαντα.* 158, 2 *οἴκεον τὸν χῶρον ἓξ ἔτεα.* VI. 101, 10 *ἐπὶ ἓξ ἡμέρας.* VIII. 116, 9 *πάντες ἓξ ἐόντες.* 126, 3 *ἔχων ἓξ μυριάδας στρατοῦ.* IX. 96, 12 *ἓξ μυριάδες* (= 30, 2). — 2) mit andren Zahlen verbunden II. 127, 15 *ἓξ καὶ πεντήκοντα ἔτεα.* V. 52, 19 *παρασάγγαι ἓξ καὶ πεντήκοντα καὶ ἥμισυ.* 65, 14 *ἐπ᾽ ἔτεα ἓξ τε καὶ τριήκοντα.* VI. 36, 9 *στάδιοι ἓξ τε καὶ τριήκοντα.* 135, 3 *πολιορκήσας ἓξ καὶ εἴκοσι ἡμέρας.* VII. 4, 4 *ἓξ τε καὶ τριήκοντα ἔτεα.* 184, 21 *χιλιάδες — ἐπὶ ταύτῃσι ἑπτὰ καὶ πρὸς ἑκατοντάδες ἓξ καὶ δεκάς.* 28 — *καὶ πρὸς χιλιάδες ἑπτὰ καὶ ἑκατοντάδες ἓξ καὶ δεκάς.* IX. 27, 31 *ἐνικήσαμεν ἔθνεα ἓξ τε καὶ τεσσεράκοντα.* 30, 2 *ἓξ τε μυριάδες καὶ ἐννέα χιλιάδες καὶ ἑκατοντάδες πέντε.*

ἐξαίρεσις, ιος, ἡ, das Herausnehmen II. 121, α, 16 *σαφέως δὲ αὐτοῖσι πάντα ἐξηγησάμενον τὰ περὶ τὴν ἐξαίρεσιν τοῦ λίθου δοῦναι τὰ μέτρα αὐτοῦ.* — Das Ausnehmen der Eingeweide II. 40, 1 *ἡ δὲ δὴ ἐξαίρεσις τῶν ἱρῶν καὶ ἡ καῦσις ἄλλη περὶ ἄλλο ἱρόν σφι κατέστηκε.*

ἐξαίσιος, η, ον, ausserordentlich, ungeheuer III. 26, 18 *ἄριστον αἱρεομένοισι αὐτοῖσι ἐπιπνεῦσαι νότον μέγαν τε καὶ ἐξαίσιον.*

ἑξακισμύριοι, αι, α, sechzigtausend IV. 86, 3 *νηῦς ἐπίπαν μάλιστά κῃ κατανύει ἐν μακρημερίῃ ὀργυιὰς ἑπτακισμυρίας, νυκτὸς δὲ ἑξακισμυρίας.*

ἑξακισχίλιοι, αι, α, sechstausend, 1) allein VII. 148, 11 *νεωστὶ γὰρ σφέων τεθνάναι ἑξακισχιλίους.* — 2) mit andren Zahlen verbunden I. 32, 19 *ἐουσέων πεντήκοντα καὶ διηκοσιέων καὶ ἑξακισχιλιέων καὶ δισμυριέων (ἡμερέων).* 192, 18 *αἱ δὲ βαινόμεναι (ἵπποι) ἑξακισχίλιαι καὶ μύριαι.* II. 9, 9 *στάδιοι γάρ εἰσι εἴκοσι καὶ ἑκατὸν καὶ ἑξακισχίλιοι* (15, 23). VI. 117, 2 *ἀπέθανον τῶν βαρβάρων κατὰ ἑξακισχιλίους καὶ τετρακοσίους ἄνδρας.* VII. 184, 12 *οὗτος ἄλλος ὅμιλος γίνεται τρισμύριοι καὶ ἑξακισχίλιοι καὶ πρὸς διηκόσιοί τε καὶ δέκα.*

ἑξακόσιοι, αι, α, sechshundert, 1) allein I. 51, 10 *χωρέων (κρητήρ) ἀμφορέας ἑξακοσίους.* 82, 19 *ὑπελείποντο ἐξ ἀνδρῶν ἑξακοσίων τρεῖς.* III. 93, 8 *ἑξακόσια τάλαντα ἐγίνετο φόρος.* IV. 81, 13 *ἑξακοσίους ἀμφορέας εὐπετέως χωρέει.* 87, 8 *νέες ἑξακόσιαι συνελέχθησαν.* VI. 9, 2 *τὸ πλῆθος τῶν νεῶν ἦσαν ἑξακόσιαι.* 95, 10 *ἔπλεον ἑξακοσίῃσι τριήρεσι.* VIII. 27, 11 *γυψώσας ἄνδρας ἑξακοσίους τῶν Φωκέων.* IX. 28, 13 *Ὀρχομένιοι ἑξακόσιοι.* 20 *Στυρέων ἑξακόσιοι.* 26 *Πλαταιέες ἑξακόσιοι.* 69, 14 *κατεστόρεσαν αὐτῶν ἑξακοσίους.* — 2) mit andren Zahlen verbunden II. 6, 11 *στάδιοι ἑξακόσιοι καὶ τρισχίλιοι.* 9, 6 *ἑξακοσίων ἐστὶ σταδίων καὶ τρισχιλίων.* 125, 20 *ἑξακόσια καὶ χίλια τάλαντα.* 145, 14 *κατὰ ἑξακόσια ἔτεα καὶ χίλια μάλιστα.* 149, 4 *στάδιοι ἑξακόσιοι καὶ τρισχίλιοι.*

ἐξαμαρτάνω, verfehle, vergehe mich, verbreche I. 108, 21 *φυλασσόμεθα δὲ ἐς σὲ καὶ ἐς τὸν μετέπειτα χρόνον μηδὲν ἐξαμαρτεῖν.* III. 145, 3 *οὗτος (Χαρίλεως) ὅ τι δὴ ἐξαμαρτὼν ἐν γοργύρῃ ἐδέδετο.*

ἑξάμηνος, ον, sechsmonatig IV. 25, 6 ὑπερβάντι δὲ τούτους ἀνθρώπους ἄλλους (οἰκέειν) οἳ τὴν ἑξάμηνον (sc. ὥρην) κατεύδουσι. (vergl. ἐννεάμηνος VI. 69, 26).

ἐξαναγκάζω, nötige, zwinge II. 3, 11 τὰ δ' ἂν ἐπιμνησθέω αὐτῶν, ὑπὸ τοῦ λόγου ἐξαναγκαζόμενος ἐπιμνησθήσομαι. — Bei Schubert a. a. O. S. 206, 8 nicht mit verzeichnet.

ἐξαναισπάω, reisse daraus hinweg V. 85, 6 ἀπικόμενοι ἐς Αἴγιναν τὰ ἀγάλματα ταῦτα ὡς σφετέρων ξύλων ἐόντα ἐπειρῶντο ἐκ τῶν βάθρων ἐξανασπᾶν.

ἐξαπαλλάσσω, befreie vollständig, c. gen. V. 4, 10 τὸν δ' ἀπογενόμενον παίζοντές τε καὶ ἡδόμενοι γῇ κρύπτουσι, ἐπιλέγοντες ὅσων κακῶν ἐξαπαλλαχθεὶς ἐστὶ ἐν πάσῃ εὐδαιμονίῃ. — Mithin ist die bei Schubert bestimmt ausgesprochene Angabe, dass sich die präfixale Zusammensetzung ἐξαπο — nicht bei Herodot finde, hiernach zu berichtigen. (a. a. O. S. 215, vergl. S. 206, 13.)

ἐξαπατάω, betrüge gänzlich, findet sich an folgenden 8 Stellen (wonach Schuberts Angaben zu vervollständigen, a. a. O. S. 206, 13, vergl. S. 215): I. 59, 27 ὁ δὲ δῆμος ὁ τῶν Ἀθηναίων ἐξαπατηθεὶς ἔδωκέ οἱ τῶν ἀστῶν καταλέξας ἄνδρας. 90, 10 ἐπείρεσθαι — εἰ ἐξαπατᾶν τοὺς εὖ ποιεῦντας νόμος ἐστί οἱ. 153, 8 χῶρος — ἐς τὸν συλλεγόμενοι ἀλλήλους ὀμνύντες ἐξαπατῶσι. II. 114, 5 ξείνου γὰρ τοῦ ἑωυτοῦ ἐξαπατήσας τὴν γυναῖκα αὐτήν τε ταύτην ἄγων ἦκει. IV. 134, 19 τῶν στρατιωτέων τοὺς ἀσθενεστάτους ἐς τὰς ταλαιπωρίας ἐξαπατήσαντας — ἀπαλλάσσεσθαι. VI. 2, 4 Ἰστιαῖος — ἀπέδρη ἐπὶ θάλασσαν, βασιλέα Δαρεῖον ἐξηπατηκώς. IX. 94, 19 ὁ μὲν δὴ πρὸς ταῦτα δεινὰ ἐποίεε, τὸ ἐνθεῦτεν πυθόμενος τὸν πάντα λόγον, ὡς ἐξαπατηθείς. 116, 3 Ἀρταΰκτης — ὃς καὶ βασιλέα ἐλαύνοντα ἐπ' Ἀθήνας ἐξηπάτησε.

ἑξάπλεθρος, ον, sechs Plethra lang II. 149, 15 αἱ δ' ἑκατὸν ὀργυιαὶ δίκαιαι εἰσὶ στάδιον ἑξάπλεθρον. (Vergleiche ἑξάμηνος, siehe oben; ἑξάπεδος II. 149, 15. ἑξαπάλαιστος I. 50, 10. II. 149, 17. ἑξάπηχυς II. 138, 7).

ἑξάπολις, ιος, ἡ, Sechsstadt I. 144, 2 κατάπερ οἱ ἐκ τῆς πενταπόλιος νῦν χώρης Δωριέες, πρότερον δὲ ἑξαπόλιος τῆς αὐτῆς ταύτης καλεομένης, φυλάσσονται ὧν μηδαμοὺς ἐσδέξασθαι τῶν προσοίκων Δωριέων.

ἐξαπόλλυμι, vernichte, Med. und perf. II.: gehe unter, verschwinde, komme um I. 92, 7 ταῦτα μὲν καὶ ἔτι ἐς ἐμὲ ἦν περιεόντα, τὰ δ' ἐξαπόλωλε τῶν ἀναθημάτων. II. 171, 11 μετὰ δὲ ἐξαναστάσης Πελοποννήσου ὑπὸ Δωριέων ἐξαπώλετο ἡ τελετή. IV. 173, 1 οὗτοι (Ψύλλοι) ἐξαπολώλασι τρόπῳ τοιῷδε. 7 ἐξαπολομένων δὲ τούτων ἔχουσι τὴν χώρην οἱ Νασαμῶνες. VI. 37, 14 πίτυς μούνη πάντων δενδρέων ἐκκοπεῖσα βλαστὸν οὐδένα μετιεῖ ἀλλὰ πανώλεθρος ἐξαπόλλυται. — Fehlt bei Schubert a. a. O. S. 206, 13. S. 215.

ἐξαρπάζω, entreisse VIII. 135, 14 τὸν δὲ Εὐρωπέα Μῦν ἐξαρπάσαντα παρ' αὐτῶν τὴν ἐφέροντο δέλτον, τὰ λεγόμενα ὑπὸ τοῦ προφήτεω γράφειν ἐς αὐτήν.

ἐξέλκω, ziehe heraus II. 70, 8 ἐπεὰν δὲ ἐξελκυσθῇ ἐς γῆν (κροκόδειλος), πρῶτον ἁπάντων ὁ θηρευτὴς πηλῷ κατ' ὧν ἔπλασσε αὐτοῦ τοὺς ὀφθαλμούς.

ἐξετάζω, untersuche, forsche aus III. 62, 18 νῦν ὧν μοι δοκέει μεταδιώξαντας τὸν κήρυκα ἐξετάζειν εἰρωτεῦντας παρ' ὅτευ ἦκων προαγορεύει ἡμῖν κτλ.

ἑξήκοντα, sechzig, 1) allein I. 166, 6 νηυσὶ ἑκάτεροι ἑξήκοντα. 7 πλοῖα, ἐόντα ἀριθμὸν ἑξήκοντα. II. 6, 2 αὐτῆς ἐστι Αἰγύπτου μῆκος τὸ παρὰ θάλασσαν ἑξήκοντα σχοῖνοι. (= 5). 10 ὁ δὲ

σχοῖνος ἕκαστος — ἑξήκοντα στάδια (δύναται). 149, 5 σχοίνων ἑξήκοντα ἐόντων. IV. 98, 1 ἀπάψας ἄμματα ἑξήκοντα ἐν ἱμάντι. 124, 4 σταδίους ὡς ἑξήκοντα μάλιστά κῃ. 133, 7 ἑξήκοντα ἡμέρας μούνας φρουρήσαντας τὴν γέφυραν. 203, 13 ἀποδραμόντες ὅσον τε ἑξήκοντα στάδια ἕζοντο. V. 68, 12 ἐπ' ἕτεα ἑξήκοντα. VI. 8, 12 Σάμιοι (ἐτάσσοντο) ἑξήκοντα νηυσί. VII. 95, 5 Αἰολέες δὲ ἑξήκοντα νέας παρείχοντο. 168, 11 ἐπλήρωσαν νέας ἑξήκοντα. 27 πληρῶσαι ἑξήκοντα τριήρεας. VIII. 36, 13 ἐξέλιπον τὴν πόλιν, πλὴν ἑξήκοντα ἀνδρῶν. 138, 12 φύεται αὐτόματα ῥόδα, ἓν ἕκαστον ἔχον ἑξήκοντα φύλλα. IX. 93, 13 λύκοι — διέφθειραν τῶν προβάτων ὡς ἑξήκοντα. — 2) mit andren Zahlen verbunden I. 190, 2 ἐς τριηκοσίας καὶ ἑξήκοντα διώρυχάς μιν διαλαβών. 202, 17 τὸν ἐς τὰς διώρυχας τὰς ἑξήκοντα τε καὶ τριηκοσίας διέλαβε (vergl. V. 52, 30). II. 9, 3 στάδιοι τῆς ὁδοῦ ἑξήκοντα καὶ ὀκτακόσιοι καὶ τετρακισχίλιοι. III. 47, 14 ἔχει (sc. ἀρπεδόνη ἑκάστη) ἀρπεδόνας ἐν ἑωυτῇ τριηκοσίας καὶ ἑξήκοντα. 90, 11 ἑξήκοντα καὶ τριηκόσια τάλαντα ἦν φόρος. 12 Ἵπποι λευκοὶ ἑξήκοντα καὶ τριηκόσιοι. 16 τὰ δὲ τριηκόσια καὶ ἑξήκοντα Δαρείῳ ἐφοίτα. 92, 7 ἑξήκοντα καὶ τριηκόσια τάλαντα (= 94, 10). 95, 9 συνελέγετο ἐς τὸν ἐπέτειον φόρον Δαρείῳ μύρια καὶ τετρακισχίλια καὶ πεντακόσια καὶ ἑξήκοντα. V. 52, 30 τὸν Κῦρος διέλαβε κοτὲ ἐς διώρυχας ἑξήκοντα καὶ τριηκοσίας. VII. 36, 5 πεντηκοντέρους καὶ τριήρεας συνθέντες — ἑξήκοντα τε καὶ τριηκοσίας. 185, 15 γίνονται αἱ πᾶσαι ἀνδρῶν αἱ μάχιμοι μυριάδες διηκόσιαι καὶ ἑξήκοντα καὶ τέσσερες.

ἐξίστημι, Med. und perf. II.: trete, gehe heraus III. 76, 6 ἐνθαῦτα ἐκστάντες τῆς ὁδοῦ ἐδίδοσαν αὐτις σφίσι λόγους.

ἐξοικοδομέω, baue aus, erbaue II. 176, 10 τῇ Ἴσι τε τὸ ἐν Μέμφι ἱρὸν Ἄμασις ἐστὶ ὁ ἐξοικοδομήσας. V. 62, 15 (Ἀλκμεωνίδαι) τὸν νηὸν μισθοῦνται τὸν ἐν Δελφοῖσι — τοῦτον ἐξοικοδομῆσαι.

ἐξομοιόω, mache ganz ähnlich III. 24, 5 ἐπεὰν τὸν νεκρὸν ἰσχνήνωσι — γυψώσαντες ἅπαντα αὐτὸν γραφῇ κοσμέουσι, ἐξομοιεῦντες τὸ εἶδος ἐς τὸ δυνατόν.

ἔξωθεν, adv., von aussen her, aussen, 1) absolut I. 70, 5 ποιησάμενοι κρητῆρα χάλκεον ζῳδίων τε ἔξωθεν πλήσαντες. 181, 11 ἀνάβασις δὲ ἐς αὐτοὺς ἔξωθεν κύκλῳ — πεποίηται. 194, 7 περιτείνουσι τούτοισι διφθέρας στεγαστρίδας ἔξωθεν ἐδάφεος τρόπον. II. 36, 18 τῶν ἱστίων τοὺς κρίκους καὶ τοὺς κάλους οἱ μὲν ἄλλοι ἔξωθεν προσδέουσι, Αἰγύπτιοι δὲ ἔσωθεν. 107, 7 τοῦτον — περινῆσαι ἔξωθεν τὴν οἰκίην ὕλῃ. 148, 14 τοῖχος δὲ ἔξωθεν ὁ αὐτός σφεας περιέργει. 175, 15 τῆς δὲ στέγης ταύτης τὸ μὲν μῆκος ἔξωθεν ἐστὶ εἵς τε καὶ εἴκοσι πήχεες. 17 ταῦτα μὲν τὰ μέτρα ἔξωθεν τῆς στέγης. IV. 65, 5 ἔξωθεν ὠμοβοέην μούνην περιτείνας οὕτω χρᾶται (sc. τῇ κεφαλῇ). VII. 60, 7 συννάξαντες ταύτην (sc. μυριάδα) ὡς μάλιστα εἶχον περιέγραψαν ἔξωθεν κύκλον. IX. 5, 9 Ἀθηναῖοι δὲ αὐτίκα δεινὸν ποιησάμενοι οἵ τε ἐκ τῆς βουλῆς καὶ οἱ ἔξωθεν („die erwartungsvoll das βουλευτήρνον umstanden"). — 2) mit genit. II. 99, 20 ἔξωθεν δὲ αὐτῆς (sc. τῆς πόλιος) περιορύξαι λίμνην ἐκ τοῦ ποταμοῦ.

ἐξωθέω, verdränge, vertreibe IV. 13, 8 καὶ ὑπὸ μὲν Ἀριμασπῶν ἐξωθέεσθαι ἐκ τῆς χώρης Ἰσσηδόνας. V. 124, 8 ὡς ἄμεινον σφίσι εἴη κρησφύγετόν τι ὑπάρχον εἶναι, ἢν ἄρα ἐξωθέωνται ἐκ τῆς Μιλήτου. VI. 83, 5 ἐξωθεύμενοι δὲ οἱ δοῦλοι μάχῃ ἔσχον Τίρυνθα.

ἐξωνέομαι, erkaufe, kaufe los I. 196, 14 ὅσοι μὲν δὴ ἔσκον εὐδαίμονες τῶν Βαβυλωνίων ἐπίγαμοι, ὑπερβάλλοντες ἀλλήλους ἐξωνέοντο τὰς καλλιστευούσας.

ἔπαινος, ου, ο, Lob, Beifall I. 96, 19 ποιέων δὲ ταῦτα ἔπαινον εἶχε οὐκ ὀλίγον πρὸς τῶν πολιητέων. III. 3, 5 ὡς εἶδε — τέκνα εὐειδέα τε καὶ μεγάλα, πολλῷ ἐχρᾶτο τῷ ἐπαίνῳ ὑπερθωμάζουσα. IX. 78, 13 τῷ σὺ τὴν ὁμοίην ἀποδιδοὺς ἔπαινον ἕξεις πρῶτα μὲν ὑπὸ πάντων Σπαρτιητέων.

ἐπαναγκάζω, zwinge zu etwas VIII. 130, 11 ἅτε δὲ μεγάλως πληγέντες, οὐ προήισαν ἀνωτέρω τὸ πρὸς ἑσπέρης, οὐδ' ἐπηνάγκαζε οὐδείς. — Darnach zu vervollständigen das Verzeichnis bei Schubert, a. a. O. S. 232, 3.

ἐπαναστασις, ιος, ἡ, Aufstand III. 44, 10 ὁ δὲ ἐπιλέξας τῶν ἀστῶν τοὺς ὑπώπτευε μάλιστα ἐς ἐπανάστασιν ἀπέπεμπε τεσσεράκοντα τριήρεσι. 118, 3 ἕνα αὐτῶν Ἰνταφρένεα κατέλαβε ὑβρίσαντα τάδε ἀποθανεῖν αὐτίκα μετὰ τὴν ἐπανάστασιν. 119, 10 ἐλπίδας πολλὰς ἔχων μετὰ τῶν συγγενέων μιν ἐπιβουλεύειν οἱ ἐπανάστασιν. — Vergl. Schubert, a. a. O. S. 240, I. B. 231, 7, der nur die letzte Stelle anführt.

ἐπαναχωρέω, ziehe mich zurück IX. 13, 15 ἐβουλεύετο ὧν ἐπαναχωρήσας ἐς τὰς Θήβας συμβαλεῖν πρὸς πόλι τε φιλίῃ καὶ χώρῳ ἱππασίμῳ. Über die recht mannigfaltige Bedeutung der Composita mit ἐπ-ανα handelt sehr eingehend Schubert, a. a. O. S. 233 ff.; in seinem Verzeichnis solcher Compp. S. 231 f. ist ἐπαναχωρέω für Her. nicht erwähnt S. 232, 14.

ἐπάνω, adv., oben, darüber, oberhalb III. 54, 5 κατὰ δὲ τὸν ἐπάνω πύργον τὸν ἐπὶ τῆς ῥάχιος τοῦ ὄρεος ἐπεόντα ἐπεξῆλθον οἵ τε ἐπίκουροι καὶ αὐτῶν Σαμίων συχνοί. Mit genit.: I. 179, 10 ἐπάνω δὲ τοῦ τείχεος παρὰ τὰ ἔσχατα οἰκήματα μουνόκωλα ἔδειμαν.

ἔπαυλις, ιος, ἡ, Landhaus, Hütte I. 111, 3 ὁ βουκόλος — ἦιε τὴν αὐτὴν ὀπίσω ὁδὸν καὶ ἀπικνέεται ἐς τὴν ἔπαυλιν.

ἔπεδρος, ον, dabei, daneben sitzend V. 41, 3 καὶ αὕτη τε ἔπεδρον βασιλέα Σπαρτιήτῃσι ἀπέφαινε. — „Beisitzer", der demnächst den erledigten Sitz einzunehmen bestimmt ist. Also ἔπεδρον βασιλέα, „einen Thronerben". So erklärt Stein, Anm. z. St. den in dieser Verbindung und Bedeutung sonst nicht vorkommenden, wie es scheint, dem spartiatischen Sprachgebrauche entlehnten Ausdruck.

ἐπειδάν, Zeitpartikel: nachdem, wann, sobald als, findet sich bei Her. nur mit conj. aor.: I. 193, 18 τὸν δὲ τῆς Δήμητρος καρπὸν ὧδε ἀγαθὴ ἐκφέρειν ἐστὶ (ἡ Βαβυλωνίη χώρη) ὥστε ἐπὶ διηκόσια μὲν τὸ παράπαν ἀποδιδοῖ, ἐπειδὰν δὲ ἄριστα αὐτὴ ἑωυτῆς ἐνείκῃ, ἐπὶ τριηκόσια ἐκφέρει. IV. 61, 3 ἐπειδὰν ἀποδείρωσι τὰ ἱρήια, γυμνοῦσι τὰ ὀστέα τῶν κρεῶν. VIII. 144, 28 οὐκ ἐκὰς χρόνου παρέσται ὁ βάρβαρος — ἀλλ' ἐπειδὰν τάχιστα πύθηται τὴν ἀγγελίην.

ἐπειδή, 1) Zeitpartikel: da nun, nachdem, da, mit imperf.: II. 119, 7 ἐπειδὴ δὲ τοῦτο ἐπὶ πολλὸν τοιοῦτον ἦν, ἐπιτεχνᾶται πρῆγμα οὐκ ὅσιον. VI. 122, 8 ἐπειδὴ γὰρ ἐγίνοντο γάμου ὡραῖαι, ἔδωκέ σφι δωρεὴν μεγαλοπρ. VII. 107, 6 ὃς ἐπειδὴ ἐπολιορκέετο ὑπὸ Ἀθηναίων — παρεὸν αὐτῷ ὑπόσπονδον ἐξελθεῖν — οὐκ ἠθέλησε. 160, 2 ἐπειδὴ ὥρα ἀπεστραμμένους τοὺς λόγους τοῦ Συάγρου, — τόνδε ἐξέφαινε λόγον. 181, 4 ὃς ἐπειδὴ ἡ νηῦς ἡλίσκετο, ἐς τοῦτο ἀντεῖχε μαχόμενος. VIII. 37, 7 οἱ δὲ βάρβαροι ἐπειδὴ ἐγίνοντο ἐπειγόμενοι — ἐπιγίνεταί σφι τέρεα ἔτι μέζονα. 76, 5 ἐπειδὴ ἐγίνοντο μέσαι νύκτες, ἀνῆγον μὲν τὸ ἀπ'

ἑσπέρης κέρας. IX. 72, 5 ὅς, ἐπειδὴ ἐσφαγιάζετο Παυσανίης. κατήμενος ἐν τῇ τάξι ἐτρωματίσθη. Mit aor.: I. 84, 2 ἐπειδὴ τεσσερεσκαιδεκάτη ἐγένετο ἡμέρη πολιορκεομένῳ Κροίσῳ. Κῦρος — πρoεῖπε. II. 2, 3 ἐπειδὴ δὲ Ψαμμήτιχος βασιλεύσας ἠθέλησε εἰδέναι — ἀπὸ τούτου νομίζουσι —. III. 142, 4 ἐπειδὴ γάρ οἱ ἐξαγγέλθη ὁ Πολυκράτεος θάνατος, ἐποίεε τοιάδε. 144, 1 ἐπειδὴ ὧν ἀπίκοντο ἐς τὴν Σάμον οἱ Πέρσαι — οὔτε τίς σφι χεῖρας ἀνταείρεται. V. 22, 11 Ἀλέξανδρος δὲ ἐπειδὴ ἀπέδεξε ὡς εἴη Ἀργεῖος, ἐκρίθη τε εἶναι Ἕλλην. 42, 4 ἐπειδὴ ὅ τε Ἀναξανδρίδης ἀπέθανε καὶ οἱ Λακεδαιμόνιοι – ἐστήσαντο βασιλέα —, ὁ Δωριεὺς — Σπαρτιήτας ἦγε ἐς ἀποικίην. 98, 8 ὃς ἐπειδὴ ἀπίκετο ἐς τοὺς Παίονας, ἔλεγε τάδε. 99, 1 Ἀρισταγόρης δέ, ἐπειδὴ οἵ τε Ἀθηναῖοι ἀπίκοντο εἴκοσι νηυσί —. VI. 16, 6 ἐπειδὴ δὲ ἐσέβαλον ἐς τὴν Ἐφεσίην κομιζόμενοι οἱ Χῖοι, — ἐνθαῦτα δὴ οἱ Ἐφέσιοι — ἐξεβοήθεον. VII. 36, 21 ἐπειδὴ δὲ ἐγεφυρώθη ὁ πόρος, — ἐπεζεύγνυον. 183, 9 ἐπειδὴ στήλην λίθου ἐπέθηκαν, — ἐπέπλεον πάσῃσι τῇσι νηυσί. 207, 3 ἐπειδὴ πέλας ἐγένετο τῆς ἐσβολῆς ὁ Πέρσης, — ἐβουλεύοντο περὶ ἀπαλλαγῆς. VIII. 31, 1 ἐπειδὴ δὲ ἀνηνείχθησαν οὗτοι οἱ λόγοι, οὕτω δὴ οἱ Θεσσαλοὶ — ἐγένοντο ἡγεμόνες. 66, 2 ἐπειδὴ ἐκ Τροιζῖνος — διέβησαν ἐς τὴν Ἱστιαίην — ἔπλεον δι' Εὐρίπου. 87, 4 ἐπειδὴ γὰρ ἐς θόρυβον πολλὸν ἀπίκετο τὰ βασιλέος πρήγματα, ἐν τούτῳ τῷ καιρῷ ἡ νηῦς ἡ Ἀρτεμ. ἐδιώκετο. 114, 6 ὃς ἐπειδὴ κατέλαβε ἐνοῦσαν ἔτι πᾶσαν τὴν στρατιὴν ἐν Θεσσαλίῃ, — ἔλεγε τάδε. 118, 1 ἐπειδὴ Ξέρξης — ἀπίκετο ἐπ' Ἠιόνα —, ἐνθεῦτεν οὐκέτι ὁδοιπορίῃσι διεχρᾶτο. IX. 76, 3 ἡ ἐπειδὴ ἔμαθε ἀπολωλότας τοὺς Πέρσας — ἐχώρεε ἐς τοὺς Λακεδαιμονίους. Mit perf.: IV. 118, 3 ἐπειδή οἱ τὰ ἐν τῇ ἠπείρῳ τῇ ἑτέρῃ πάντα κατέστραπται, — διαβέβηκε ἐς τήνδε τὴν ἤπειρον. VII. 16, β, 1 νῦν ὦν, ἐπειδὴ τέτραψαι ἐπὶ τὴν ἀμείνω, φῆς τοι — ἐπιφοιτᾶν ὄνειρον. 158, 13 νῦν δὲ ἐπειδὴ περιελήλυθε ὁ πόλεμος καὶ ἀπῖκται ἐς ὑμέας, οὕτω δὴ Γέλωνος μνῆστις γέγονε. Mit plusquamperf.: IV. 83, 8 ὁ δέ, ἐπειδή οἱ τὰ ἅπαντα παρεσκεύαστο, ἐξήλαυνε τὸν στρατὸν ἐκ Σούσων. VII. 152, 15 ἐπειδή σφι πρὸς τοὺς Λακεδαιμονίους κακῶς ἡ αἰχμὴ ἑστήκεε. VIII. 129, 2 Ἀρταβάζῳ δὲ ἐπειδὴ πολιορκέοντι ἐνεγεγόνεσαν τρεῖς μῆνες, γίνεται ἄμπωτις τῆς θαλάσσης. Mit infinit.: in indirekter Rede III. 26, 14 ἐπειδὴ ἐκ τῆς Ὀάσιος ταύτης ἰέναι διὰ τῆς ψάμμου, — γενέσθαι τε αὐτοὺς μεταξύ κου μάλιστα αὐτῶν τε καὶ τῆς Ὀάσιος, — ἐπιπνεῦσαι νότον μέγαν. — 2) Kausalpartikel: da, weil einmal, da ja (*quandoquidem*); mit praes.: I. 45, 10 ἔχω ὦ ξεῖνε παρὰ σεῦ πᾶσαν τὴν δίκην, ἐπειδὴ σεωυτοῦ καταδικάζεις θάνατον. VII. 102, 2 ἐπειδὴ ἀληθείῃ διαχρήσασθαι πάντως κελεύεις — τῇ Ἑλλάδι πενίη μὲν αἰεί κοτε σύντροφος ἐστί. VIII. 100, 31 ἤδη ὦν, ἐπειδὴ οὐ Πέρσαι τοι αἴτιοι εἰσί, ἐμοὶ πείθεο. Mit optat. praes.: I. 24, 15 Ἀρίονα — παραιτήσασθαι, ἐπειδή σφι οὕτω δοκέοι, περιιδεῖν αὐτὸν – ἀεῖσαι. Mit imperf.: I. 67, 6 ἐπειδὴ αἰεὶ τῷ πολέμῳ ἐσσοῦντο ὑπὸ Τεγεητέων, — ἐπειρώτων. III. 72, 2 λέγει πρὸς ταῦτα Ὀτάνης, ἐπειδὴ ὥρα σπερχόμενον Δαρεῖον. Mit aor.: VIII. 110, 2 ἐπειδὴ γὰρ — ἐφάνη ἐὼν ἀληθέως σοφός τε καὶ εὔβουλος, πάντως ἕτοιμοι ἦσαν λέγοντι πείθεσθαι. IX. 7, 31 ἐπειδὴ γὰρ ἡμάρτομεν τῆς Βοιωτίης, τῆς γε ἡμετέρης ἐπιτηδεότατον ἐστὶ μαχέσασθαι τὸ Θριάσιον πεδίον. 48, 17 νῦν ὦν ἐπειδὴ οὐκ ὑμεῖς ἤρξατε τούτου τοῦ λόγου, ἀλλ' ἡμεῖς ἄρχομεν. Mit perf.: II. 115, 22 νῦν ὦν ἐπειδὴ περὶ πολλοῦ ἥγημαι μὴ ξεινοκτονέειν, — οὔ τοι προήσω. IX. 87, 3 ἐπειδὴ οὕτω δέδοκται τοῖσι Ἕλλησι —

νῦν ὧν ἡμέων εἵνεκα γῆ ἡ Βοιωτίη πλέω μὴ ἀναπλήσῃ. — Wie nahe sich übrigens in den zuletzt angeführten Stellen die kausale Bedeutung der Partikel mit der temporalen berührt, bedarf, als der Natur der Sache entsprechend, kaum eines Hinweises.

ἐπεῖπον, aor.: sprach dabei, setzte hinzu I. 123, 21 ἐντειλάμενός οἱ ἀπὸ γλώσσης διδόντα τὸν λαγὸν Κύρῳ ἐπειπεῖν αὐτοχειρίῃ μιν διελεῖν. IV. 162, 18 ἐπειπάσης δὲ αὐτις τῆς Φερετίμης τώυτὸ ἔπος.

ἐπεμβάλλω, lege dazu hinein, schiebe ein II. 4, 7 ἄγουσι δὲ τοσῷδε σοφώτερον Ἑλλήνων — ὅσῳ Ἕλληνες μὲν διὰ τρίτου ἔτεος ἐμβόλιμον ἐπεμβάλλουσι τῶν ὡρέων εἵνεκεν. — Auch dieses Compositum ist Schubert entgangen, der a. a. O. S. 215 zu der Verbindung ἐπεν- bemerkt: „nicht bei Herodot und Thucydides"; vergleiche S. 204. 206, 11. — Das gleiche gilt von

ἐπενδύνω, ziehe darüber an I. 195, 4 καὶ ἐπὶ τοῦτον ἄλλον εἰρίνεον κιθῶνα ἐπενδύνει.

ἐπεξευρίσκω, erfinde noch dazu II. 160, 5 δοκέοντες παρὰ ταῦτα οὐδ' ἂν τοὺς σοφωτάτους ἀνθρώπων Αἰγυπτίους οὐδὲν ἐπεξευρεῖν. 13 ἐπιμαθησόμενοι εἴ τι ἔχοιεν Αἰγύπτιοι τούτων δικαιότερον ἐπεξευρεῖν. — Darnach zu ergänzen Schubert, a. a. O. S. 206, 10, der für Her. nur die Zusammensetzung ἐπεξιέναι anführt.

ἐπέσειμι, gehe dazu hinein VII. 210, 8 ὡς δ' ἐσέπεσον φερόμενοι ἐς τοὺς Ἕλληνας οἱ Μῆδοι, ἔπιπτον πολλοί, ἄλλοι δ' ἐπεσήισαν.

ἐπεσέρχομαι, komme dazu hinein I. 37, 2 ἀποχρεωμένων δὲ τούτοισι τῶν Μυσῶν, ἐπεσέρχεται ὁ τοῦ Κροίσου παῖς. IV. 154, 7 ἡ δὲ ἐπεσελθοῦσα ἐδικαίου καὶ τῷ ἔργῳ εἶναι μητρυιὴ τῇ Φρονίμῃ.

ἐπεσπίπτω, falle dazu ein, mit dat.: überfalle noch dazu VII. 42, 9 καὶ πρῶτα μέν οἱ ὑπὸ τῇ Ἴδῃ νύκτα ἀναμείναντι βρονταί τε καὶ πρηστῆρες ἐπεσπίπτουσι. — Darnach zu vervollständigen das Verzeichnis bei Schubert a. a. O. S. 207, 15.

ἐπεύχομαι, flehe an, c. dat.: II. 52, 2 ἔθυον δὲ πάντα πρότερον οἱ Πελασγοὶ θεοῖσι ἐπευχόμενοι. V. 92, η, 24 συμφορήσας δὲ ἐς ὄρυγμα [τὰ ἱμάτια] Μελίσσῃ ἐπευχόμενος κατέκαιε. VII. 53, 12 νῦν δὲ διαβαίνωμεν ἐπευξάμενοι τοῖσι θεοῖσι οἳ Πέρσας λελόγχασι.

ἐπίγαιος, ον, auf, an der Erde II. 125, 16 τελευταῖα δὲ αὐτῆς τὰ ἐπίγαια καὶ τὰ κατωτάτω ἐξεποίησαν.

ἐπιγαμίη, ης, ἡ, Vertrag zu gegenseitiger Heirat, Hinüberheiraten II. 147, 10 οὗτοι (οἱ δυώδεκα βασιλέες) ἐπιγαμίας ποιησάμενοι ἐβασίλευον.

ἐπιγινώσκω, erkenne VIII. 106, 5 εὑρίσκει (Ἑρμότιμος) τὸν Πανιώνιον ἐνθαῦτα. ἐπιγνοὺς δὲ ἔλεγε πρὸς αὐτὸν πολλοὺς καὶ φιλίους λόγους.

ἐπίγραμμα, ατος, τό, Auf-, Inschrift V. 59, 5 ὁ μὲν δὴ εἷς τῶν τριπόδων ἐπίγραμμα ἔχει. VII. 228, 16 ἐπιγράμμασι μέν νυν καὶ στήλῃσι, ἔξω ἢ τὸ τοῦ μάντιος ἐπίγραμμα, Ἀμφικτύονες εἰσὶ σφέας οἱ ἐπικοσμήσαντες.

ἐπιγράφω, schreibe darauf, versehe mit Aufschrift I. 51, 16 τῶν τῷ χρυσέῳ ἐπιγέγραπται Λακεδαιμονίων φαμένων εἶναι ἀνάθημα. 18 ἐπέγραψε δὲ τῶν τις Δελφῶν. III. 88, 16 ἐπέγραψε δὲ γράμματα λέγοντα τάδε. IV. 88, 7 ταῦτα γραψάμενος ἀνέθηκε ἐς τὸ Ἥραιον, ἐπιγράψας τάδε. V. 77, 23 ἐπιγέγραπται δέ οἱ (τεθρίππῳ χαλκέῳ) τάδε. VII. 228, 3 ἐπιγέγραπται γράμματα λέγοντα τάδε. 7 ταῦτα μὲν δὴ τοῖσι πᾶσι ἐπιγέγραπται. 19 τὸ δὲ τοῦ μάντιος Μεγιστίεω Σιμωνίδης ὁ Λεωπρέπεος ἐστὶ κατὰ ξεινίην ὁ ἐπιγράψας.

ἐπιδεής, ές, ermangelnd VII. 29, 12 τὰς τετρακοσίας μυριάδας τοι τῶν στατήρων ἀποπλήσω, — ἵνα μή τοι ἐπιδεέες ἔωσι αἱ τετρακόσιαι μυριάδες. (Daneben ἐπιδευέες IV. 130, 5.)

ἐπιδέκομαι, nehme hinzu, auf VIII. 75, 8 τὸν — Θεμιστοκλέης Θεσπιέα τε ἐποίησε, ὡς ἐπεδέκοντο οἱ Θεσπιέες πολιήτας, (um die im Kriege stark verminderte Bürgerzahl entsprechend zu vergrössern).

ἐπιδέομαι, bedarf dazu, mit gen.: I. 32, 43 ἀλλὰ ἄλλο μὲν ἔχει ἑτέρου δὲ ἐπιδέεται (ἄνθρωπος).

ἐπιδρομή, ῆς, ἡ, Anlauf, Überfall, ἐξ ἐπιδρομῆς unerwartet I. 6, 13 τὸ γὰρ Κιμμερίων στράτευμα — οὐ καταστροφὴ ἐγένετο τῶν πολίων ἀλλ' ἐξ ἐπιδρομῆς ἁρπαγή.

ἐπιζητέω, forsche nach-, vermisse III. 36, 25 εἰ μὲν μεταμελήσῃ τῷ Καμβύσῃ καὶ ἐπιζητέῃ τὸν Κροῖσον. — Verlange V. 24, 15 οὐδέν κω ἄλλο χρῆμα οὕτω ἐν βραχέι ἐπεζήτησα ὡς σὲ ἰδεῖν.

ἐπιθυμέω, begehre, wünsche, 1) mit gen.: I. 216, 4 τῆς γὰρ ἐπιθυμήσῃ γυναικὸς Μασσαγέτης ἀνήρ. II. 66, 9 αἳ δὲ στερισκόμεναι τῶν τέκνων, ἄλλων δὲ ἐπιθυμέουσαι (ἀιέλουροι). 181, 2 εἴτ' ἐπιθυμήσας Ἑλληνίδος γυναικός. III. 21, 12 εἰ γὰρ ἦν δίκαιος, οὔτ' ἂν ἐπεθύμησε χώρης ἄλλης ἢ τῆς ἑωυτοῦ. 120, 3 οὗτος ἐπεθύμησε πρήγματος οὐκ ὁσίου. 139, 12 ἐπεθύμησε τῆς χλανίδος. 14 ὁρέων τὸν Δαρεῖον μεγάλως ἐπιθυμέοντα τῆς χλανίδος. VII. 18, 9 ἐπιστάμενος ὡς κακὸν εἴη τὸ πολλῶν ἐπιθυμέειν. — 2) mit infin.: I. 24, 3 Ἀρίονα — ἐπιθυμῆσαι πλῶσαι ἐς Ἰταλίην. 116, 17 Ἀστυάγης δέ μιν οὐκ εὖ βουλεύεσθαι ἔφη ἐπιθυμέοντα ἐς ἀνάγκας μεγάλας ἀπικνέεσθαι. 123, 3 τείσασθαι Ἀστυάγεα ἐπιθυμέων. 201, 2 ἐπεθύμησε Μασσαγέτας ὑπ' ἑωυτῷ ποιήσασθαι. II. 135, 11 ἐπεθύμησε γὰρ Ῥοδῶπις μνημήιον ἑωυτῆς — καταλιπέσθαι. III. 120, 6 ἐπεθύμεε λαβὼν αὐτὸν ἀπολέσαι. 17 οἱ μὲν δή μιν φασὶ — ἐπιθυμῆσαι οὐκ οὕτω τὸν εἶπαντα ταῦτα τείσασθαι ὡς Πολυκράτεα πάντως ἀπολέσαι. 127, 2 ἐπεθύμεε τὸν Ὀροίτεα τείσασθαι. IV. 1, 3 ἐπεθύμησε ὁ Δαρεῖος τείσασθαι Σκύθας. 79, 2 ἐπεθύμησε Διονύσῳ Βακχείῳ τελεσθῆναι. 166, 4 ἰδὼν Δαρεῖον ἐπιθυμέοντα μνημόσυνον ἑωυτοῦ λιπέσθαι. V. 12, 3 Δαρεῖον δὲ συνήνεικε — ἐπιθυμῆσαι ἐντείλασθαι Μεγαβάζῳ Παίονας ἑλόντα ἀνασπάστους ποιῆσαι. 67, 8 τοῦτον ἐπεθύμησε ὁ Κλεισθένης — ἐκβαλεῖν ἐκ τῆς χώρης. VII. 100, 2 ἐπεθύμησε αὐτός σφεας διεξελάσας θεήσασθαι. 128, 5 ἐπεθύμησε πλώσας θεήσασθαι τὴν ἐκβολὴν τοῦ Πηνειοῦ. 9 ὡς δὲ ἐπεθύμησε, καὶ ἐποίεε ταῦτα. — 3) mit acc. c. inf.: III. 134, 23 ἐπιθυμέω γὰρ λόγῳ πυνθανομένη (sc. περὶ αὐτέων) Λακαίνας τέ μοι γενέσθαι θεραπαίνας καὶ Ἀργείας κτλ.

ἐπικάτημαι, sitze auf etwas, mit dat.: VI. 72, 6 ἐπ' αὐτοφώρῳ δὲ ἁλοὺς — ἐπικατήμενος χειρίδι πλέῃ ἀργυρίου, ἔφυγε ἐκ Σπάρτης.

ἐπίκλησις, ιος, ἡ, Benennung, Beiname I. 19, 4 ἅψατο (sc. ἀφθὲν τὸ λήιον) νηοῦ Ἀθηναίης ἐπίκλησιν Ἀσσησίης. — Gleichfalls als adverbialer accus.: 114, 6 οἱ παῖδες παίζοντες εἵλοντο ἑωυτῶν βασιλέα εἶναι τοῦτον δὴ τὸν τοῦ βουκόλου ἐπίκλησιν παῖδα. IV. 181, 22 ἐπίκλησιν δὲ αὕτη ἡ κρήνη καλέεται ἡλίου.

ἐπικοσμέω, schmücke aus I. 184, 3 πολλοὶ μέν κου καὶ ἄλλοι ἐγένοντο βασιλέες, — οἳ τὰ τείχεά τε ἐπεκόσμησαν καὶ τὰ ἱρά.

ἐπικρέμαμαι, hange über, übertr.: drohe, stehe bevor (impendeo) IX. 33, 23 τέλος

δὲ δείματος μεγάλου ἐπικρεμαμένου τοῦ Περσικοῦ τούτου στρατεύματος καταίνεον μετιόντες.

ἐπίλογος, ου, ὁ, Schluss einer Rede I. 27,20 κάρτα τε ἡσθῆναι Κροῖσον τῷ ἐπιλόγῳ.

ἐπιμανθάνω, lerne, erfahre hinzu I. 131,10 ἐπιμεμαθήκασι δὲ καὶ τῇ Οὐρανίῃ θύειν. II. 160, 11 ἔφασαν ἥκειν ἐπιμαθησόμενοι εἴ τι ἔχοιεν Αἰγύπτιοι τούτων δικαιότερον ἐπεξευρεῖν.

ἐπιμαρτύρομαι, Dep. med.: τινί, rufe zum Zeugen an, beschwöre V. 92, η, 31 ἐπιμαρτυρόμεθά τε ἐπικαλεόμενοι ὑμῖν θεοὺς τοὺς Ἑλληνίους μὴ κατισταναι τυραννίδας. — ἐπιμαρτυρέομαι: V. 93,10 Λακεδαιμονίοισί τε ἐπεμαρτυρέοντο μὴ ποιέειν μηδὲν νεώτερον κτλ.

ἐπιμέλομαι, trage Sorge für, kümmere mich, 1) mit genit.: I. 98, 12 τοὺς Μήδους ἠνάγκασε ἓν πόλισμα ποιήσασθαι καὶ τοῦτο περιστέλλοντας τῶν ἄλλων ἧσσον ἐπιμέλεσθαι. II. 174, 11 τούτων τῶν ἱρῶν οὔτε ἐπεμέλετο οὔτε ἐς ἐπισκευὴν ἐδίδου οὐδέν. V. 29, 12 δοκέειν γὰρ ἔφασαν καὶ τῶν δημοσίων οὕτω δή σφεας ἐπιμελήσεσθαι ὥσπερ τῶν σφετέρων. VIII. 109, 20 νῦν μὲν [ἄμεινον] ἐν τῇ Ἑλλάδι καταμείναντας ἡμέων τε αὐτῶν ἐπιμεληθῆναι καὶ τῶν οἰκετέων. — 2) ohne genit.: II. 2, 21 ὡς δὲ πολλάκις φοιτέοντι καὶ ἐπιμελομένῳ πολλὸν ἦν τοῦτο τὸ ἔπος.

ἐπιμετρέω, messe hinzu, liefere dazu III. 91, 13 χωρὶς τοῦ ἀργυρίου καὶ τοῦ [ἐπιμετρουμένου] σίτου προσήιε ἑπτακόσια τάλαντα.

ἐπιμηχανάομαι, ersinne (mit List) dagegen, bemühe mich I. 94, 13 τοὺς Λυδοὺς — ἄκεα δίζησθαι, ἄλλον δὲ ἄλλο ἐπιμηχανᾶσθαι αὐτῶν. VI. 91,5 ἄγος σφι ἐγένετο, τὸ ἐκθύσασθαι οὐκ οἷοί τε ἐγένοντο ἐπιμηχανώμενοι.

ἐπιπέμπω, sende dazu, schicke zu I. 160,5 ἐπιπέμποντος τοῦ Μαζάρεος ἀγγελίας. IV. 83, 2 Δαρείου — ἐπιπέμποντος ἀγγέλους. VII. 15, 10 εἰ ὧν θεός ἐστι ὁ ἐπιπέμπων (sc. τὸ ὄνειρον).

ἐπιπέτομαι, fliege herbei VII. 15, 13 εἰ — θεός ἐστι ὁ ἐπιπέμπων — ἐπιπτήσεται καὶ σοὶ τωὐτὸ τοῦτο ὄνειρον.

ἐπιπλάσσω, streiche darauf II. 38, 11 ἔπειτα γῆν σημαντρίδα ἐπιπλάσας ἐπιβάλλει τὸν δακτύλιον.

ἐπιπνέω, wehe heran, stürme daher, gegen III. 26, 17 ἄριστον αἱρεομένοισι αὐτοῖσι ἐπιπνεῦσαι νότον μέγαν τε καὶ ἐξαίσιον.

ἐπιποθέω, verlange, sehne mich nach V. 93, 3 Ἱππίης δὲ αὐτὸν ἀμείβετο — ἢ μὲν Κορινθίους μάλιστα πάντων ἐπιποθήσειν Πεισιστρατίδας.

ἐπιπολή, ῆς, ἡ, Oberfläche; ἐπιπολῆς als gen. adverb.: auf der Oberfläche, oben auf, darüber, 1) mit genit.: I. 187, 3 τάφον ἑωυτῇ κατεσκευάσατο μετέωρον ἐπιπολῆς αὐτέων τῶν πυλέων. II. 96, 8 ζυγὰ ἐπιπολῆς τείνουσι αὐτῶν (sc. τῶν διπήχεων ξύλων). III. 123, 10 ἐπιπολῆς τῶν λίθων χρυσὸν ἐπέβαλε. IV. 201, 7 κατύπερθε δὲ ἐπιπολῆς τῶν ξύλων χοῦν γῆς ἐπεφόρησε. — 2) allein II. 62, 4 τὰ δὲ λύχνα ἐστὶ ἐμβάφια ἔμπλεα ἁλὸς καὶ ἐλαίου, ἐπιπολῆς δὲ ἔπεστι αὐτὸ τὸ ἐλλύχνιον.

ἐπισάσσω, packe, lade auf I. 194, 21 τὰς διφθέρας ἐπισάξαντες ἐπὶ τοὺς ὄνους ἀπελαύνουσι ἐς τοὺς Ἀρμενίους. III. 9, 3 ἀσκοὺς καμήλων πλήσας ὕδατος ἐπέσαξε ἐπὶ τὰς ζωὰς τῶν καμήλων πάσας.

ἐπισκέπτομαι, besichtige, untersuche, prüfe II. 109, 8 ὃ δὲ ἔπεμπε τοὺς ἐπισκεψομένους καὶ ἀναμετρήσοντας ὅσῳ ἐλάσσων ὁ χῶρος γέγονε.

ἐπισπείρω, säe darauf, besäe VII. 115, 13 *τὴν δὲ ὁδὸν ταύτην — οὔτε συγχέουσι Θρήικες οὔτ' ἐπισπείρουσι.*

ἐπισπεύδω, treibe an, beschleunige VII. 18, 24 *Ἀρτάβανος, ὃς πρότερον ἀποσπεύδων μοῦνος ἐφαίνετο, τότε ἐπισπεύδων φανερὸς ἦν.*

ἐπιστρατεύομαι, 1) unternehme einen Feldzug gegen jemand V. 89, 14 *ἢν δὲ αὐτίκα ἐπιστρατεύωνται, πολλὰ — σφέας — πείσεσθαι.* VI. 132, 5 *οὐ φράσας σφι ἐπ' ἣν ἐπιστρατεύσεται χώρην.* — 2) in Scharen ziehen, ohne Bezug auf Krieg, von den Schwärmen beflügelter Schlangen III. 107, 11 *τὰ δένδρα — τὰ λιβανωτοφόρα ὄφιες ὑπόπτεροι — φυλάσσουσι πλήθεϊ πολλοὶ περὶ δένδρεον ἕκαστον, οὗτοι οἵ περ ἐπ' Αἴγυπτον ἐπιστρατεύονται.* Ähnlich *στρατεύονται* IV. 28, 7.

ἐπιστρέφω, kehre, wende um, 1) transit.: VII. 141, 22 *ἀλλ' ὑποχωρεῖν || νῶτον ἐπιστρέψας.* (or.) — 2) intr.: wende um, kehre um II. 103, 7 *ἐνθεῦτεν δὲ ἐπιστρέψας ὀπίσω ἤιε.*

ἐπιτεχνάομαι, ersinne mit List, wende eine List an I. 63, 8 *φευγόντων δὲ τούτων βουλὴν ἐνθαῦτα σοφωτάτην Πεισίστρατος ἐπιτεχνᾶται.* 123, 15 *ὃ δὲ ἐπιτεχνᾶται τοιόνδε.* II. 2, 8 *Ψαμμήτιχος δὲ ὡς οὐκ ἐδύνατο — πόρον οὐδένα τούτου ἀνευρεῖν — ἐπιτεχνᾶται τοιόνδε.* 119, 8 *ἐπιτεχνᾶται πρῆγμα οὐκ ὅσιον.* 121, δ, 3 *ὡς δὲ χαλεπῶς ἐλαμβάνετο ἡ μήτηρ τοῦ περιεόντος παιδός — ἐπιτεχνήσασθαι τοιάδε μιν.*

ἐπιφύω, Pass. nebst aor. II. und perf. Act.: wachse, entstehe, auf, an etwas IV. 34,8 *τὸ δὲ σῆμα ἐστὶ ἔσω ἐς τὸ Ἀρτεμίσιον ἐσιόντι ἀριστερῆς χειρός, ἐπιπέφυκε δέ οἱ ἐλαίη.*

ἐπιχέω, Pass.: übertr.: verbreite mich, ergiesse mich über etwas II. 141, 21 *ἐνθαῦτα — αὐτοῖσι ἐπιχυθέντας νυκτὸς μῦς ἀρουραίους κατὰ μὲν φαγεῖν τοὺς φαρετρεῶνας αὐτῶν κατὰ δὲ τὰ τόξα.*

ἐπιψαύω, berühre leicht, fasse an, mit genit.: III. 87, 4 *ὡς τῆς ἵππου ταύτης τῶν ἄρθρων ἐπιψαύσας τῇ χειρὶ ἔχοι αὐτὴν κρύψας ἐν τῇσι ἀναξυρίσι.* — Übertr.: berühre oberflächlich, in der Erzählung II. 65, 10 *τὰ δὲ καὶ εἴρηκα αὐτῶν* (sc. *θείων πρηγμάτων*) *ἐπιψαύσας, ἀναγκαίῃ καταλαμβανόμενος εἶπον.*

ἐπορμάω, treibe, rege an IX. 93, 24 *αὐτοὶ γὰρ ἐπορμῆσαι τοὺς λύκους.*

ἑπτά, sieben, 1) allein I. 26, 7 *ἔστι δὲ μεταξὺ τῆς τε παλαιῆς πόλιος — καὶ τοῦ νηοῦ ἑπτὰ στάδιοι.* 98, 20 *κύκλων ἐόντων — ἑπτά.* II. 4, 20 *ἀνάπλοος — ἑπτὰ ἡμερέων.* 164, 1 *ἔστι δὲ Αἰγυπτίων ἑπτὰ γένεα.* III. 8, 8 *ἐν μέσῳ κειμένους λίθους ἑπτά.* 26, 6 *ἀπέχει ἑπτὰ ἡμερέων ὁδόν.* 60, 4 *τὸ μῆκος τοῦ ὀρύγματος ἑπτὰ στάδιοι εἰσί.* 66, 6 *βασιλεύσαντα — ἑπτὰ ἔτεα καὶ πέντε μῆνας.* 67, 3 *μῆνας ἑπτὰ τοὺς ἐπιλοίπους Καμβύσῃ ἐς τὰ ὀκτὼ ἔτεα.* 71, 2 *οὗτοι ἐόντες ἑπτὰ ἐδίδοσαν σφίσι πίστις καὶ λόγους.* — Diese 7 (persischen Verschworenen) werden ferner erwähnt: 76, 1 *οἱ ἑπτά* (13). 77, 10 *τοὺς ἑπτά.* 78, 18 *τῶν ἑπτά* (79, 9. 83, 2. 84, 2. 4. 11. 118, 2. 9. 119, 32. 140, 4. 141, 2). 140, 4 *οἱ ἑπτά.* 150, 3 *οἱ ἑπτά.* 153, 2 *τῶν ἑπτὰ ἀνδρῶν.* IV. 132, 8 *τῶν ἀνδρῶν τῶν ἑπτά.* VI. 43, 13 *τοῖσι ἑπτά.* — III. 76, 11 *ἐφάνη ἰρήκων ἑπτὰ ζεύγεα.* 129, 9 *ἐπ' ἑπτὰ μὲν δὴ ἡμέρας καὶ ἑπτὰ νύκτας.* 152, 1 *ἑπτὰ μηνῶν καὶ ἐνιαυτοῦ διεληλυθότος.* IV. 22, 3 *ἔρημος ἐπ' ἡμερέων ἑπτὰ ὁδόν.* 24, 7 *δι' ἑπτὰ ἑρμηνέων καὶ δι' ἑπτὰ γλωσσέων διαπρήσσονται.* 85, 18 *ἐόντα στεινότητα ἑπτὰ σταδίους.* 123, 11 *ἑπτὰ ἡμερέων ὁδοῦ.* 151, 1 *ἑπτὰ ἐτέων — οὐκ ὖε.* 153, 5 *ἀπὸ τῶν χώρων ἁπάντων ἑπτὰ*

